**ἀπόδοσις**

Schol. vet. in Pind. *Ol.* 2 (p. 3. 4 sqq. Tessier) τὸ ϛ´ μικτὸν τροχαικὸν ἀπὸ συζυγίας ἰαμβικῆς· ἡ δὲ ἀπόδοσις ἐν τῷ ‘Λαίον’ τοῦ ‘ι’ πάσχει ὑφίζησιν.

Schol. vet. in Pind. *Ol.* 10 (p. 9. 20 sq. Tessier) τὸ ϛ´ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, οὗ ἀπόδοσις <***>· ὁ γὰρ ε´ πούς ἐστι ***.

Schol. vet. in Pind. *Ol.* 13 (p. 11. 21 sq. Tessier) τὸ ι´ εὐριπίδειον· αἱ δὲ ἀποδόσεις ἑπτασύλλαβοί εἰσιν ἰωνικοὶ ἀπ’ ἐλάσσονος.

Schol. vet. in Pind. *Nem.* 5 (p. 24. 8 sq. Tessier) τὸ ια´ ἰωνικὸν δίμετρον ἀκατάληκτον· καὶ ἡ τελευταία ἀπόδοσις τὸ ‘Χάρισιν’ ἐξέτεινεν.

Schol. vet. in Pind. *Nem.* 6 (p. 24. 23 sq. Tessier) τὸ γ´· ἡ τελευταία ἀπόδοσις ἀναγκάζει δακτυλικὸν γενέσθαι τὸ κῶλον.

Schol. vet. in Pind. *Nem.* 7 (p. 25. 7 sq. Tessier) τὸ δ´ περίοδος διπλῆ, καὶ ἡ μὲν α´ ἀπόδοσις ἐστι μέσος ἴαμβος, ἡ δὲ β´ διπλοῦς τροχαῖος < *** > [λείπει].

Schol. vet. in Pind. *Nem.* 7 (p. 25. 18 sqq. Tessier) τὸ ε´ γλυκώνειον· ἡ δ´ ἀπόδοσις ἀντὶ τῆς ἰαμβικῆς συζυγίας τὴν χοριαμβικὴν <ἔχει> ὡς συγγενῆ.

Schol. vet. in Pind. *Nem.* 10 (p. 27. 4 sq. Tessier) τὸ ϛ´ περίοδος, τροχαῖος ἐπίτριτος ἢ ἐπιχοριαμβικὸν διὰ τὴν ἀπόδοσιν.

Schol. vet. in Pind. *Nem.* 11 (p. 27. 18 sqq. Tessier) τὸ α´ πινδαρικόν· ἔστι δὲ ἰαμβέλεγος λείπων τῇ ἀρχῇ καὶ πάλιν ἰαμβικὸν πενθημιμερὲς λεῖπον τῷ τέλει, ὃ καλεῖται ἀμφιλειπές, ἐπεὶ καὶ ἐν ἀρχῇ καὶ ἐν τῷ τέλει λείπει. ἡ δὲ ἀπόδοσις τὸ (v. 18) ‘ἀοιδαῖς’ ‘ᾠδαῖς’ ποιεῖ. [*A.T.*]